θαυμαστὸς ἐν ἰσχύι, ἀνυπέρβλητος.
[14]σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου· 14
ὅτι εἶπας, καὶ ἐγενήθησαν·
ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησεν·
καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ σου.
[15]ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασιν σαλευθήσεται, 15
πέτραι δ᾽ ἀπὸ προσώπου σου ὡς κηρὸς τακήσονται·
ἔτι δὲ τοῖς φοβουμένοις σε,
σὺ εὐιλατεύσεις αὐτοῖς.
[16]ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας, 16
καὶ ἐλάχιστον πᾶν στέαρ εἰς ὁλοκαύτωμά σοι·
ὁ δὲ φοβούμενος τὸν κύριον μέγας διὰ παντός.
[17]οὐαὶ ἔθνεσιν ἐπανιστανομένοις τῷ γένει μου· 17
κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως
δοῦναι πῦρ καὶ σκώληκας εἰς σάρκας αὐτῶν,
καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος.

[18]Ὡς δὲ ἦλθοσαν εἰς Ιερουσαλημ, προσεκύνησαν τῷ θεῷ, καὶ 18
ἡνίκα ἐκαθαρίσθη ὁ λαός, ἀνήνεγκαν τὰ ὁλοκαυτώματα αὐτῶν καὶ
τὰ ἑκούσια αὐτῶν καὶ τὰ δόματα. [19]καὶ ἀνέθηκεν Ιουδιθ πάντα τὰ 19
σκεύη Ολοφέρνου, ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ, καὶ τὸ κωνώπιον, ὃ
ἔλαβεν ἑαυτῇ ἐκ τοῦ κοιτῶνος αὐτοῦ, εἰς ἀνάθημα τῷ θεῷ ἔδωκεν.
[20]καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν Ιερουσαλημ κατὰ πρόσωπον 20
τῶν ἁγίων ἐπὶ μῆνας τρεῖς, καὶ Ιουδιθ μετ᾽ αὐτῶν κατέμεινεν.

[21]Μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀνέζευξεν ἕκαστος εἰς τὴν κλη- 21
ρονομίαν αὐτοῦ, καὶ Ιουδιθ ἀπῆλθεν εἰς Βαιτυλουα καὶ κατέμεινεν
ἐπὶ τῆς ὑπάρξεως αὐτῆς· καὶ ἐγένετο κατὰ τὸν καιρὸν αὐτῆς ἔν-
δοξος ἐν πάσῃ τῇ γῇ. [22]καὶ πολλοὶ ἐπεθύμησαν αὐτήν, καὶ οὐκ 22
ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς, ἀφ᾽ ἧς ἡμέ-
ρας ἀπέθανεν Μανασσης ὁ ἀνὴρ αὐτῆς καὶ προσετέθη πρὸς τὸν
λαὸν αὐτοῦ. [23]καὶ ἦν προβαίνουσα μεγάλη σφόδρα καὶ ἐγήρασεν 23
ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἔτη ἑκατὸν πέντε· καὶ ἀφῆκεν τὴν
ἅβραν αὐτῆς ἐλευθέραν. καὶ ἀπέθανεν εἰς Βαιτυλουα, καὶ ἔθαψαν
αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς αὐτῆς Μανασση, [24]καὶ ἐπένθησεν 24

14 απεστειλας] επεστρεψας S† | ωκοδομηθησαν S† || 15 σαλευθησεται, πετραι δ(ε)] εσαλευθησάν, σαλευθησεται πετρα S*† (ab Sc partim correcta) | τακησεται A | ετι BSA] επι pl., εν *L*† | ευιλατευσεις] σ > B, ευ > S || 16 ολοκαυτωμα] -καρπωμα S† || 17 επανιστανομενοις SA(†)] -σταμενοις B || 18 fin.] + αυτων A || 19 θεω] κυριω SA || 20 εν] εις A | κατεμεινεν] ι > B*L* 58† || 21 τας ημ. / ταυτας] tr. A† | ανεζευξαν S† | εκαστος > A† | εις βαιτ.] pr. εις τον οικον αυτης S† || 22 μανασση A† || 23 ην προβαιν.] tr. A | εν 1⁰ > A† | ετη / εκ. πεντε] tr. A || 24 επενθησαν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1053 UNIVERSITÄT LEIPZIG